Universitätsbibliothek Paderborn

# Eusebiu Tu Pamphilu Ekklēsiastikē Istoria

Eusebius <Caesariensis>

Mogvntiae, 1672

XLVIII. Quomodo immodicas cujusdam laudes aegrè tulerit.

urn:nbn:de:hbz:466:1-14478

Visual Library

quidem librum opportunè ad calcem hujus operis edituri sumus; adjuncta etiam oratione illa de tricennalibus, quam paulo post profecti Constantinopolim, coram ipso Imperatore recitavimus; secundò tum in palatio summum omnium Deum ac Dominum laudibus prædicantes. Quam cùm audiret Deo amabilis Imperator, gestire præ gaudio videbatur. Atque id ipse finita oratione confessus est, cùm Episcopos qui aderant convivio exciperet, omníque eos genere honoris afficeret.

A καιρὸν, μετὰ τὴν παροῦσαν τῆς γραφῆς ὑπόθεσιν ἐκθησόμεθα. ὁμοῦ καὶ τὸν τριακονταετηρικὸν αὐτῷ συζευγνύντες. ὃν μικρὸν ὕστερον ἐπὶ τῆς βασιλέως ἐπωνύμου πόλεως τὴν πορείαν στειλάμενοι, εἰς ἐπήκοον αὐτοῦ βασιλέως διήλθομεν. τοῦτο δεύτερον ἐν αὐτοῖς βασιλείοις τὸν ἐπὶ πάντων βασιλέα Θεὸν δοξάσαντες. οὗ δὴ καὶ ἀκροώμενος ὁ τῷ Θεῷ φίλος, γαννυμένῳ ἐῴκει. τοῦτο δ' οὖν αὐτὸ μετὰ τὴν ἀκρόασιν ἐξέφηνε. συμποσιάζων μὲν παροῦσι τοῖς Ἐπισκόποις, παντοίᾳ τ' αὐτοὺς τιμῇ φιλοφρονού-B μενος.

## Caput XLVII.

*Quòd Nicæna quidem Synodus vicennalibus Constantini, dedicatio verò basilicæ Hierosolymitanæ contigit tricennalibus.*

HAnc secundam Synodum, omnium quas quidem novimus maximam, Imperator Hierosolymis congregavit, post primam illam quam in urbe Bithyniæ nobilissima collegerat. Sed illa quidem triumphalis erat; in Imperii vicennalibus preces ac vota pro victoria de hostibus parta, in urbe victoriæ cognomine persolvens. Hæc verò tricennalium festivitatem ornavit, cùm Imperator Deo omnium bonorum Auctori, Martyrium, velut quoddam pacis donarium, in ipso Servatoris nostri monumento dedicaret.

## ΚΕΦΑΛΑΙΟΝ ΜΖ΄.

*Ὅτι ἡ μὲν ἐν Νικαίᾳ σύνοδος τῇ εἰκοσαετηρίδι, τὰ ἐγκαίνια δ' ἐν Ἱεροσολύμοις τῇ τριακονταετηρίδι Κωνσταντίνου γέγονε.*

ΤΑύτην μεγίστην ὧν ἴσμεν συνόδων δευτέραν συνεκρότει βασιλεὺς ἐν αὐτοῖς Ἱεροσολύμοις, μετὰ τὴν πρώτην ἐκείνην, ἣν ἐπὶ τῆς Βιθυνῶν διαφανῶς πεποίητο πόλεως. ἀλλ' ἡ μὲν ἐπινίκιος ἦν, ἐν εἰκοσαετηρίδι τῆς βασιλείας, τὴν κατ' ἐχθρῶν καὶ πολεμίων εὐχὴν ἐπὶ C τῆς Νικαίας αὐτῆς ἐκτελοῦσα· ἡ δὲ, τῆς τρίτης δεκάδος τὴν περίοδον ἐκόσμει. τῷ πάντων ἀγαθῶν δοτῆρι Θεῷ, ἀμφὶ τὸ μνῆμα τὸ σωτήριον, εἰρήνης ἀνάθημα τὸ μαρτύριον βασιλέως ἀφιεροῦντος.

## Caput XLVIII.

*Quomodo immodicas cujusdam laudes ægrè tulerit.*

HIs omnibus confectis, cùm Imperatoris virtus cunctorum sermonibus prædicaretur, quidam ex numero Sacerdotum, illum coram beatum pronuntiare non est veritus: quippe qui tum in hac vita summum totius orbis Romani Imperium consequi meruisset; tum in futuro ævo unà cum Filio Dei esset regnaturus. At ille hujusmodi voces ægrè admodum passus, hominem admonuit, ne his verbis uti præsumeret; sed potius supplex Deo vota faceret, ut tam in hac quam in futura vita, censeri inter famulos Dei mereretur.

## ΚΕΦΑΛΑΙΟΝ ΜΗ΄.

*Ὅπως τινὸς ἄγαν ἐπαινοῦντος, οὐκ ἠνέσχετο Κωνσταντῖνος.*

ΚΑὶ δὴ τούτων ἁπάντων συντελουμένων, κἀνὰ στόμα τε παρὰ πᾶσι τῶν τῆς αὐτοῦ D κατὰ Θεὸν ἀρετῆς βοωμένων, τῶν τοῦ Θεοῦ λειτουργῶν τις ἀποτολμήσας, εἰς αὐτοῦ πρόσωπον μακάριον αὐτὸν ἀπέφηνεν. ὅτι δὴ κἀν τῷ παρόντι βίῳ τῆς κατὰ πάντων αὐτοκρατορικῆς βασιλείας ἠξιωμένος εἴη. κἀν τῷ μέλλοντι συμβασιλεύειν μέλλοι τῷ υἱῷ τοῦ Θεοῦ. ὁ δ' ἀπηχθῶς τῆς φωνῆς ἐπακούσας, μὴ τοιαῦτα τολμᾶν παρῄνει φθέγγεσθαι. μᾶλλον δὲ δι' εὐχῆς αἰτεῖσθαι αὐτῷ, κἀν τῷ παρόντι κἀν τῷ μέλλοντι τῆς τοῦ Θεοῦ δουλείας ἄξιον φανῆναι.